ΟΡ. δάκρυα γοῦν γένοιτ᾽ ἄν. ΠΥ. οὐκοῦν οὗτος οἰωνὸς μέγας.
ΟΡ. δηλαδὴ σιγᾶν ἄμεινον. ΠΥ. τῷ χρόνῳ δὲ κερδανεῖς.
ΟΡ. κεῖνό μοι μόνον πρόσαντες, ΠΥ. τί τόδε καινὸν αὖ λέγεις;
ΟΡ. μὴ θεαί μ᾽ οἴστρῳ κατάσχωσ᾽. ΠΥ. ἀλλὰ κηδεύσω σ᾽ ἐγώ.
ΟΡ. δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός. ΠΥ. οὐκ ἔμοιγε σοῦ.
ΟΡ. εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς. ΠΥ. τόδ᾽ οὖν ἴτω.
ΟΡ. οὐκ ἄρ᾽ ὀκνήσεις; ΠΥ. ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
ΟΡ. ἕρπε νυν οἴαξ ποδός μοι. ΠΥ. φίλα γ᾽ ἔχων κηδεύματα.
ΟΡ. καί με πρὸς τύμβον πόρευσον πατρός. ΠΥ. ὡς τί δὴ τόδε;
ΟΡ. ὥς νιν ἱκετεύσω με σῶσαι. ΠΥ. τό γε δίκαιον ὧδ᾽ ἔχει.
ΟΡ. μητέρος δὲ μηδ᾽ ἴδοιμι μνῆμα. ΠΥ. πολεμία γὰρ ἦν.
ἀλλ᾽ ἔπειγ᾽, ὥς μή σε πρόσθε ψῆφος Ἀργείων ἕλῃ,
περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ·
ὡς ἐγὼ δι᾽ ἄστεός σε σμικρὰ φροντίζων ὄχλου
οὐδὲν αἰσχυνθεὶς ὀχήσω. ποῦ γὰρ ὢν δείξω φίλος,
εἴ σε μὴ ᾽ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;
ΟΡ. τοῦτ᾽ ἐκεῖνο, κτᾶσθ᾽ ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
ὡς ἀνὴρ ὅστις τρόποισι συντακῇ, θυραῖος ὢν
μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

---

789. γε B γάρ F C 794. φίλοισι C 800. πλευράν BF C 802. πῆ γάρ C 803. μὴ ᾽ν E et a m. sec. F μὴ ceteri. 806. ὁμαιμόνων F C